UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XIX. De cathedra Jacobi episcopi.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

A

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Περὶ τοῦ ἀνδριάντος οὗ ἡ αἱμοῤῥοοῦσα ἀνέστησεν.

Ἀλλ᾽ ἐπειδὴ τῆσδε τῆς πόλεως εἰς μνήμην ἐλήλυθα, οὐκ ἄξιον ἡγοῦμαι παρελθεῖν διήγησιν καὶ τοῖς μεθ᾽ ἡμᾶς μνημονεύεσθαι ἀξίαν. τὴν γὰρ αἱμοῤῥοοῦσαν ἣν ἐκ τῶν ἱερῶν Εὐαγγελίων πρὸς τοῦ Σωτῆρος ἡμῶν τοῦ πάθους ἀπαλλαγὴν εὕρασθαι μεμαθήκαμεν, ἐνθένδε ἔλεγον ὁρμᾶσθαι· τόν τε οἶκον αὐτῆς ἐπὶ τῆς πόλεως δείκνυσθαι, καὶ τῆς ὑπὸ τοῦ Σωτῆρος εἰς αὐτὴν εὐεργεσίας θαυμαστὰ τρόπαια παραμένειν. ἑστάναι γὰρ ἐφ᾽ ὑψηλοῦ λίθου πρὸς μὲν ταῖς πύλαις τοῦ αὐτῆς οἴκου, γυναικὸς ἐκτύπωμα χάλκεον ἐπὶ γόνυ κεκλιμένον, καὶ τεταμένῃ ἐπὶ τὸ πρόσθεν ταῖς χερσὶν, ἱκετευούσῃ ἐοικός· τούτου δὲ ἄντικρυς ἄλλο τῆς αὐτῆς ὕλης ἀνδρὸς ὄρθιον σχῆμα, διπλοΐδα κοσμίως περιβεβλημένον, καὶ τὴν χεῖρα τῇ γυναικὶ προτεῖνον. οὗ παρὰ τοῖς ποσὶν ἐπὶ τῆς στήλης αὐτῆς, ξένον τι βοτάνης εἶδος φύειν. ὃ μέχρι τοῦ κρασπέδου τῆς τοῦ χαλκοῦ διπλοΐδος ἀνιὸν, ἀλεξιφάρμακόν τι παντοίων νοσημάτων τυγχάνειν. τοῦτον δὲ τὸν ἀνδριάντα, εἰκόνα τοῦ Ἰησοῦ φέρειν ἔλεγον. ἔμεινε δὲ καὶ εἰς ἡμᾶς, ὡς καὶ ὄψει παραλαβεῖν ἐπιδημήσαντας αὐτοὺς τῇ πόλει. καὶ θαυμαστὸν οὐδὲν τοὺς πάλαι ἐξ ἐθνῶν εὐεργετηθέντας πρὸς τοῦ σωτῆρος ἡμῶν, ταῦτα πεποιηκέναι. ὅτε καὶ τῶν Ἀποστόλων αὐτοῦ τὰς εἰκόνας Παύλου καὶ Πέτρου, καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ, διὰ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστορήσαμεν. ὡς εἰκὸς τῶν παλαιῶν ἀπαραφυλάκτως οἷα σωτῆρας ἐθνικῇ συνηθείᾳ παρ᾽ ἑαυτοῖς τοῦτον τιμᾶν εἰωθότων τὸν τρόπον.

B C D

## Caput XVIII.

*De statua quam mulier sanguinis fluxu laborans posuit.*

Sed quandoquidem hujus urbis mentionem fecimus, non incongruum fuerit rem quandam memoria inprimis dignam posteris tradere. Etenim mulierem illam sanguinis profluvio laborantem, quam ex sacris Evangeliis discimus à Servatore nostro curatam fuisse, ex hac civitate originem traxisse ferunt; domumque ejus ibidem conspici; & collati in eam à Servatore nostro beneficii illustria exstare monumenta. Quippe juxta januam domus illius, ænea mulieris effigies stare dicitur columnæ lapideæ imposita; genibus flexis protensisque manibus instar supplicantis. Ex adverso autem effigies viri ex eodem metallo conflata, stantis ac diploide decenter induti, manumque mulieri porrigentis. Ad cujus pedes in ipsa basi ignota quædam nasci dicitur planta: quæ ad fimbriam usque æneæ diploidis assurgens depellendis omnis generis morbis præsentissimum remedium est. Hanc statuam Jesu Christi speciem referre ajebant. Mansit porrò ad nostra usque tempora: nosque adeo urbem illam ingressi, ipsam conspeximus. Nec verò mirandum est, Gentiles à Servatore nostro beneficiis affectos hæc præstitisse; cùm & Apostolorum Petri ac Pauli, Christique ipsius pictas imagines, ad nostram usque memoriam servatas in tabulis viderimus. Quippe prisci illi, absque ullo discrimine cunctos de se bene meritos Gentili quadam consuetudine tanquam servatores colere hujusmodi honoribus consueverant.

Vide Nicephor. in l.6.c.15.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Περὶ τοῦ θρόνου Ἰακώβου τοῦ Ἀποστόλου.

Τὸν γὰρ Ἰακώβου θρόνον τοῦ πρώτου τῆς Ἱεροσολύμων ἐκκλησίας τὴν Ἐπισκοπὴν πρὸς αὐτοῦ τοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων ὑποδεξαμένου. ὃν καὶ ἀδελφὸν τοῦ Χριστοῦ χρηματίσαι οἱ θεῖοι λόγοι περιέχουσιν. εἰς δεῦρο πεφυλαγμένον οἱ τῇδε κατὰ διαδοχὴν περιέποντες ἀδελφοὶ, σαφῶς τοῖς πᾶσιν ἐπιδείκνυνται, οἷον περὶ τοὺς ἁγίους ἄνδρας τοῦ θεοφιλοῦς ἕνεκεν, οἵ τε πάλαι καὶ οἱ

## Caput XIX.

*De throno Iacobi Episcopi.*

Sane & Jacobi illius cathedram, qui primus Hierosolymorum Episcopus ab ipso Servatore & ab Apostolis est constitutus, & quem fratrem Domini cognominatum fuisse divina testantur Volumina, ad nostra usq; tempora conservatam fratres illius Ecclesiæ jam inde à majoribus magna prosequuntur reverentia: satis perspicuè declarantes qualiter tum antiquiores tum nostri temporis Christiani, viros sanctos ob ipsorum

Vide Niceph. in l.6.c.16.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

A erga Deum amorem debito semper honore venerati sunt, & hactenus venerantur. Sed de his satis.

## Caput XX.

*De epistolis heortasticis Dionysii, in quibus & canonem Paschalem tradit.*

Huc refer Niceph. l. 6. c. 18.

PRæter supradictas epistolas, idem Dionysius Paschales illas quas habemus epistolas tunc temporis conscripsit: encomia in illis & panegyricos sermones de Paschali festo contexens. harum unam Flavio nuncupavit; alteram Domitio ac Didymo. In qua probans festum Paschæ diem nonnisi post æqui- B noctium vernum celebrari oportere, octo annorum canonem publicavit. Aliam quoque epistolam ad compresbyteros Alexandrinæ ecclesiæ, itemque alias ad diversos scripsit epistolas, easq; grassante adhuc persecutionis furore.

## Caput XXI.

*De his quæ Alexandriæ contigerunt.*

Huc refer Niceph. l. 6. c. 19.

POst hæc pace vix dum restituta, Alexandriam regressus est. Ve- C rùm cùm seditio bellumqu rursus illic exortum fuisset, adeò ut ipse universos ejus urbis fratres, utpote in alterutram seditionis partem distractos alloqui non posset; iterum ipso Paschæ die ex urbe Alexandria, tanquam extorris eos per literas alloquitur. Sanè in altera Paschali epistola quam paulò post ad Hieracem unum ex Ægypti episcopis exaravit, de seditione illa quæ tunc temporis Alexandriæ commota est, mentionem facit his verbis: Quid verò mirum, si grave ac difficile mihi est homines longius remotos vel per epistolas alloqui, cum nec mecum ipse colloqui, nec a- D nimæ meæ consulere facilè possim. Etenim ad mea ipsius viscera; ad contubernales & unanimes fratres ejusdemque ecclesiæ municipes, missis epistolis opus habeo; easque quomodo transmittam vix reperio. Facilius enim quis, non dicam extra fines provinciæ, sed ab Oriente ad Regiones Occidentis ultimas commeare possit, quàm ex ipsa urbe Alexandria Alexandriam pergere. Quippe vasta illa & invia solitudine quam Israëlitæ duabus ætatibus peragrarunt, vastior magisque invia est me-

---

A εἰς ἡμᾶς ἔσωζόν τε καὶ ἀποσώζουσι σέβας. καὶ ταῦτα μὲν ταύτῃ.

## ΚΕΦΑΛΑΙΟΝ Κ'.

*Περὶ τῶν ἑορταστικῶν Διονυσίου ἐπιστολῶν, ἔνθα καὶ περὶ τοῦ Πάσχα κανονίζει.*

Ὁ γε μὴν Διονύσιος πρὸς ταῖς δηλωθείσαις ἐπιστολαῖς αὐτοῦ, ἔτι καὶ τὰς φερομένας ἑορταστικὰς τὸ τηνικαῦτα συντάττει, πανηγυρικωτέρους ἐν αὐταῖς περὶ τῆς τοῦ Πάσχα ἑορτῆς ἀνακινῶν λόγους. τούτων τὴν μὲν Φλαουΐῳ προσφωνεῖ. τὴν δὲ Δομετίῳ καὶ Διδύμῳ· B ἐν ᾗ καὶ κανόνα ἐκτίθεται ὀκταετηρίδος, ὅτι μὴ ἄλλοτε ἢ μετὰ τὴν ἐαρινὴν ἰσημερίαν προσήκοι τὴν τοῦ Πάσχα ἑορτὴν ἐπιτελεῖν παριστάμενος. πρὸς ταύταις καὶ ἄλλην τοῖς κατ' Ἀλεξάνδρειαν συμπρεσβυτέροις ἐπιστολὴν διαχαράττει. ἑτέροις τε ὁμοῦ διαφόρους, καὶ ταύτας ἔτι τοῦ διωγμοῦ συνεστῶτος.

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

*Περὶ τῶν ἐν Ἀλεξανδρείᾳ συμβάντων.*

C Ἐπιλαβούσης δὲ ὅσον οὔπω τῆς εἰρήνης, ἐπανελθὼν εἰς τὴν Ἀλεξάνδρειαν· πάλιν αὐτόθι στάσεως καὶ πολέμου συστάντος, ὡς οὐχ οἷόν τε ἦν αὐτῷ τοὺς κατὰ τὴν πόλιν ἅπαντας ἀδελφοὺς εἰς ἑκάτερον τῆς στάσεως μέρος διῃρημένους ἐπισκοπεῖν· αὖθις ἐν τῇ τοῦ Πάσχα ἑορτῇ ὥσπερ τις ὑπερόριος ἐξ αὐτῆς τῆς Ἀλεξανδρείας διὰ γραμμάτων αὐτοῖς ὡμίλει. καὶ Ἱέρακι δὲ μετὰ ταῦτα τῶν κατ' Αἴγυπτον ἐπισκόπῳ ἑτέραν ἑορταστικὴν ἐπιστολὴν γράφων, τῆς κατ' αὐτὸν τῶν Ἀλεξανδρέων στάσεως μνημονεύει διὰ τούτων. ἐμοὶ δὲ τί θαυμαστὸν εἰ πρὸς τοὺς πορρωτέρω παροικοῦντας χαλεπὸν τὸ καὶ δι' ἐπιστολῶν ὁμιλεῖν. ὅτε καὶ τὸ πρὸς ἐμαυτὸν D αὐτῷ μοι διαλέγεσθαι καὶ τῇ ἰδίᾳ ψυχῇ συμβουλεύεσθαι, καθέστηκεν ἄπορον. πρὸς γοῦν τὰ ἐμαυτοῦ σπλάγχνα τοὺς ὁμοσκήνους καὶ συμψύχους ἀδελφοὺς καὶ τῆς αὐτῆς πολίτας ἐκκλησίας, ἐπιστολιμαίων δέομαι γραμμάτων, καὶ ταῦθ' ὅπως διαπεμψαίμην ἀμήχανον φαίνεται. ῥᾷον γὰρ ἄν τις οὐχ ὅπως εἰς τὴν ὑπερόριον, ἀλλὰ καὶ ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς περαιωθείη, ἢ τὴν Ἀλεξάνδρειαν ἀπ' αὐτῆς τῆς Ἀλεξανδρείας ἐπέλθοι. τῆς γὰρ ἐρήμου τῆς πολλῆς καὶ ἀτριβοῦς ἐκείνης, ἣν ἐν δυσὶ γενεαῖς διώδευσεν ὁ Ἰσραὴλ, ἄπειρος μᾶλλον καὶ ἀβατωτ